eul_wid: eis-ab

*Νικοφῶν ὁ Θερωνίδης* · Nicophon the Comic Poet

# Comic Fragments on Food and Markets

*Ἀποσπάσματα περὶ Τροφῆς καὶ Ἀγορᾶς*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἅπερ ἐσθίει
book 1.2 ταυτὶ τὰ πόνηρ’ ὀρνίθια, σέρφους ἴσως, σκώληκας, ἀκρίδας, πάρνοπας.
book 2.1 Οὐκ ἐς κόρακας τὼ χεῖρ’ ἀποίσεις ἐκποδὼν ἀπὸ τοῦ σκυταλίου
book 2.2 τε καὶ τῆς διφθέρας;
book 3.1 Ἆρ’ ἀράχνιόν
book 3.2 τι φαίνετ’ ἐμπεφυκέναι.
book 1 Ὁ μὲν ἐξυφαίνεθ’ ἱστόν, ὁ δὲ διάζεται.
book 1.1 Ἐὰν δέ γ’ ἡμῶν σῦκά τις μεσημβρίας
book 1.2 τρώγων καθεύδῃ χλωρά, πυρετὸς εὐθέως ἥκει
book 1.3 τρέχων, οὐκ ἄξιος
book 1.4 τριωβόλου· κᾆθ’ οὗτος ἐπιπεσὼν ἐμεῖν
book 1.5 ποιεῖ χολήν.
book 2 Νιφέτω μὲν ἀλφίτοις, ψακαζέτω δ’ ἄρτοισιν, ὑέτω δ’ ἔτνει, ζωμὸς διὰ τῶν ὁδῶν κυλινδείτω κρέα, πλακοῦς ἑαυτὸν ἐσθίειν κελευέτω.
book 3.1 Ἄλλος μαχέσθω
book 3.2 περὶ ἕδρας
book 3.3 παροψίδι.
book 1 Μεμβραδοπώλαις, ἀχραδοπώλαις, ἰσχαδοπώλαις, διφθεροπώλαις, ἀλφιτοπώλαις, μυστριοπώλαις, βιβλιοπώλαις, κοσκινοπώλαις,[ln_5]ἐγκριδοπώλαις, σπερματοπώλαις.
book 2 Ἐγὼ μὲν ἄρτους, μᾶζαν, ἀθάρην, ἄλφιτα, κόλλικας, ὀβελίαν, μελιτοῦτταν, ἐπιχύτους, πτισάνην, πλακοῦντας, δενδαλίδας, ταγηνίας.
book 3 Γέννα ὁ οὗτος ὀλίγον ἄναγε ἀπὸ τῆς διφροφόρου· χρηστὸς εἶ καὶ κόσμιος.
book 4 Τοὺς ἑψητοὺς καὶ τοὺς πέρδικας ἐκείνους.
book 5.1 Ἀλλ’ ἴθι
book 5.2 προσαύλησον σὺ νῷν
book 5.3

πτισμόν

book 5.4 τινα.

book 1 Νυνὶ δὲ Κρόνου καὶ Τιθωνοῦ παππεπίπαππος νενόμισται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org